# ΟΙ ΚΔ΄ ΟΙΚΟΙ ΤΗΣ ΥΠΕΡΑΓΙΑΣ ΘΕΟΤΟΚΟΥ ΚΑΙ ΑΕΙΠΑΡΘΕΝΟΥ ΜΑΡΙΑΣ

## *Καὶ οἱ ΚΔ΄. Οἶκοι εἰς τοὺς θείους Ἀρχαγγέλους.*

Ὑπὸ Γεωργίου Α. Βουτέρη, Ἱερέως καὶ ἐφημερίου τοῦ Ναοῦ Ὁσίου Μελετίου.

Πρὸς ὠφέλειαν τῶν εὐσεβῶν χριστιανῶν

Εὐαγγελίζου γῆ χαρὰν μεγάλην, αἰνεῖτε οὐρανοὶ Θεοῦ τὴν δόξαν. Χαῖρε κεχαριτωμένη ὁ Κύριος μετὰ σοῦ.

Ὁ ποιῶν τοὺς Ἀγγέλους αὐτοῦ πνεύματα καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα. Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ

### *25 Μαρτίου. Ὁ Εὐαγγελισμὸς τῆς Θεοτόκου*
### *Ἀπολυτίκιον ἦχος δ΄.*

Σήμερον τῆς σωτηρίας ἡμῶν τὸ κεφάλαιον, καὶ τοῦ ἀπ' αἰῶνος Μυστηρίου ἡ φανέρωσις· ὁ Υἱὸς τοῦ Θεοῦ, Υἱὸς τῆς Παρθένου γίνεται καὶ Γαβριὴλ τὴν χάριν εὐαγγελίζεται. Διὸ σὺν αὐτῷ τῇ Θεοτόκῳ βοήσωμεν· Χαῖρε κεχαριτωμένη ὁ Κύριος μετὰ σοῦ·

### *Εἰσοδικόν.*

Εὐαγγελίζεσθε ἡμέραν ἐξ ἡμέρας τὸ σωτήριον τοῦ Θεοῦ ἡμῶν. Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ δι' ἡμᾶς σαρκωθείς, ψάλλοντάς σοι Ἀλληλούϊα.

### *Κοντάκιον τῇ ὑπερμάχῳ καὶ τὰ μεγαλυνάρια.*

Ἔκθαμβος ἀσπάζεται Γαβριήλ, ἔκθαμβος λαμβάνει ἡ παρθένος τὸν ἀσπασμόν, πῶς ὁ Θεὸς Λόγος, κατῆλθε βροτωθῆναι, τοῦ Κτίστου προσκυνοῦμεν τὴν συγκατάβασιν.

Σήμερον ἡ κτίσις ἀγάλλεται, ὅτι σοὶ τὸ χαῖρε, προσφωνεῖ ὁ Ἀρχάγγελος· διὸ σὺν αὐτῷ σοι βοῶμεν. Παναγία, χαῖρε εὐλογημένη βροτῶν ἡ ἀνάκλησις.

***Κοινωνικόν*: *Ἐξελέξατο κύριος τὴν Σιὼν κτλ.* Ἀλληλούϊα**

Εἴδομεν τὸ φῶς καὶ Ἀπόλυσις. Χριστὸς ὁ ἀληθινὸς Θεός.

# ΟΙΚΟΙ ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ

***Ἐν τῷ Ὄρθρῳ εἰς τό, Θεὸς Κύριος.***
***Ἀπολυτίκιον αὐτόμελον. Ἦχος πλ. δ΄.***

Τὸ προσταχθὲν μυστικῶς λαβὼν ἐν γνώσει ἐν τῇ σκηνῇ τοῦ Ἰωσὴφ σπουδῇ ἐπέστη, ὁ Ἀσώματος λέγων τῇ ἀπειρογάμῳ· ὁ κλίνας τῇ καταβάσει τοὺς οὐρανούς, χωρεῖται ἀναλλοιώτως ὅλος ἐν σοί· ὃν καὶ βλέπων ἐν μήτρᾳ σου, λαβόντα δούλου μορφήν, ἐξίσταμαι κραυγάζειν σοι· Χαῖρε Νύμφη ἀνύμφευτε.

Τοῦτο λέγεται ἐκ τρίτου, ἀργῶς καὶ μετὰ μέλους· μετὰ δὲ τὴν στιχολογίαν τοῦ Α΄ Καθίσματος τοῦ Ψαλτηρίου, λέγομεν ἀργῶς μετὰ μέλους.

***Κοντάκιον δίχορον αὐτόμελον. Ἦχος πλ. δ΄.***

Τῇ ὑπερμάχῳ στρατηγῷ τὰ νικητήρια. Ὡς λυτρωθεῖσα τῶν δεινῶν εὐχαριστήρια. Ἀναγράφω σοι ἡ Πόλις σου Θεοτόκε. Ἀλλ᾽ ὡς ἔχουσα τὸ κράτος ἀπροσμάχητον. Ἐκ παντοίων με κινδύνων ἐλευθέρωσον. Ἵνα κράζω σοι. Χαῖρε Νύμφη ἀνύμφευτε.

***Καὶ εὐθὺς τοὺς ἐξ Οἴκους.***

Ἄγγελος πρωτοστάτης οὐρανόθεν ἐπέμφθη, εἰπεῖν τῇ Θεοτόκῳ τὸ Χαῖρε καὶ σὺν τῇ ἀσωμάτῳ φωνῇ σωματούμενόν σε θεωρῶν Κύριε, ἐξίστατο καὶ ἵστατο κραυγάζων πρὸς αὐτὴν τοιαῦτα.

Χαῖρε δι᾽ ἧς ἡ χαρὰ ἐκλάμψει· χαῖρε δι᾽ ἧς ἡ ἀρὰ ἐκλείψει.

Χαῖρε, τοῦ πεσόντος Ἀδὰμ ἡ ἀνάκλησις· χαῖρε τῶν δακρύων τῆς Εὔας ἡ λύτρωσις.

Χαῖρε, ὕψος δυσανάβατον ἀνθρωπίνοις λογισμοῖς· χαῖρε, βάθος δυσθεώρητον καὶ ἀγγέλων ὀφθαλμοῖς.

Χαῖρε, ὅτι ὑπάρχεις Βασιλέως καθέδρα· χαῖρε, ὅτι βαστάζεις τὸν βαστάζοντα πάντα.

Χαῖρε, ἀστήρ, ἐμφαίνων τὸν ἥλιον· χαῖρε γαστὴρ ἐνθέου σαρκώσεως.

Χαῖρε, δι᾽ ἧς νεουργεῖται ἡ κτίσις· χαῖρε δι᾽ ἧς βρεφουργεῖται ὁ Κτίστης.

Χαῖρε Νύμφη ἀνύμφευτε.



Βλέπουσα ἡ Ἁγία ἑαυτὴν ἐν ἁγνείᾳ φησὶ τῷ Γαβριὴλ θαρσαλέως. Τὸ παράδοξόν σου τῆς φωνῆς δυσπαράδεκτόν μου τῇ ψυχῇ φαίνεται· ἀσπόρου γὰρ συλλήψεως τὴν κύησιν πῶς λέγεις; κράζων.

Ἀλληλούϊα.

Γνῶσιν ἄγνωστον γνῶναι ἡ Παρθένος ζητοῦσα, ἐβόησε πρὸς τὸν λειτουργοῦντα. Ἐκ λαγόνων ἁγνῶν υἱὸν πῶς ἔστι τεχθῆναι δυνατόν; λέξον μοι. Πρὸς ἣν ἐκεῖνος ἔφησεν ἐν φόβῳ πλὴν κραυγάζων οὕτω.

Χαῖρε βουλῆς ἀπορρήτου μύστις· χαῖρε, σιγῆς δεομένων πίστις.

Χαῖρε τῶν θαυμάτων Χριστοῦ τὸ προοίμιον· χαῖρε, τῶν δογμάτων αὐτοῦ τὸ κεφάλαιον.

Χαῖρε κλίμαξ ἐπουράνιε, δι᾽ ἧς κατέβη ὁ Θεός· χαῖρε, γέφυρα μετάγουσα τοὺς ἐκ γῆς πρὸς οὐρανόν.

Χαῖρε, τὸ τῶν Ἀγγέλων πολυθρύλητον θαῦμα· χαῖρε, τὸ τῶν δαιμόνων πολυθρήνητον τραῦμα.

Χαῖρε, τὸ φῶς ἀρρήτως γεννήσασα· χαῖρε, τὸ πῶς μηδένα διδάξασα.

Χαῖρε, σοφῶν ὑπερβαίνουσα γνῶσιν· χαῖρε, πιστῶν καταυγάζουσα φρένας.

Χαῖρε, Νύμφη ἀνύμφευτε.

Δύναμις τοῦ ὑψίστου ἐπεσκίασε τότε πρὸς σύλληψιν τῇ ἀπειρογάμῳ, καὶ τὴν εὔκαρπον ταύτης νηδὺν ὡς ἀγρὸν ὑπέδειξεν ἡδὺν ἅπασι, τοῖς θέλουσι θερίζειν σωτηρίαν, ἐν τῷ ψάλλειν οὕτως.

Ἀλληλούϊα.

Ἔχουσα Θεοδόχον ἡ Παρθένος τὴν μήτραν ἀνέδραμε πρὸς τὴν Ἐλισσάβετ· τὸ δὲ βρέφος ἐκείνης, εὐθὺς ἐπιγνὸν τὸν ταύτης ἀσπασμόν, ἔχαιρε καὶ ἅλμασιν ὡς ᾄσμασιν ἐβόα πρὸς τὴν Θεοτόκον.

Χαῖρε, βλαστοῦ ἀμαράντου κλῆμα· χαῖρε, καρποῦ ἀκηράτου κτῆμα.

Χαῖρε, γεωργὸν γεωργοῦσα φιλάνθρωπον· χαῖρε φυτουργὸν τῆς ζωῆς ἡμῶν φύουσα.

Χαῖρε, ἄρουρα βλαστάνουσα εὐφορίαν οἰκτιρμῶν· τράπεζα βαστάζουσα εὐθηνίαν ἱλασμῶν.

Χαῖρε, ὅτι λειμῶνα, τῆς τρυφῆς ἀναθάλλεις· χαῖρε ὅτι λιμένα τῶν ψυχῶν ἑτοιμάζεις.

Χαῖρε δεκτὸν πρεσβείας θυμίαμα· χαῖρε, παντὸς τοῦ κόσμου ἐξίλασμα.

Χαῖρε, Θεοῦ πρὸς θνητοὺς εὐδοκία· χαῖρε, θνητῶν πρὸς θεὸν παρρησία.

Χαῖρε, Νύμφη ἀνύμφευτε

Ζάλην ἔνδοθεν ἔχων λογισμῶν ἀμφιβόλων ὁ σώφρων Ἰωσὴφ ἐταράχθη, πρὸς τὴν ἄγαμόν σε θεωρῶν καὶ κλεψίγαμον ὑπονοῶν. Ἄμεμπτε, μαθὼν δέ σου τὴν σύλληψιν ἐκ Πνεύματος ἁγίου, ἔφη.

Ἀλληλούϊα.

***Εἶτα τὸ Κοντάκιον. Τῇ ὑπερμάχῳ. Στιχολογεῖται ὁ Ἄμωμος, καὶ πάλιν τῇ Ὑπερμάχῳ, καὶ ἑτέρους ἐξ Οἴκους.***

Ἤκουσαν οἱ ποιμένες τῶν Ἀγγέλων ὑμνούντων τὴν ἔνσαρκον τοῦ Χριστοῦ παρουσίαν, καὶ δραμόντες ὡς πρὸς ποιμένα, θεωροῦσι τοῦτον ὡς ἀμνὸν ἄμωμον ἐν τῇ γαστρὶ Μαρίας βοσκηθέντα, ἣν ὑμνοῦντες εἶπον:

Χαῖρε, ἀμνοῦ καὶ ποιμένος Μήτηρ· χαῖρε αὐλὴ λογικῶν προβάτων.

Χαῖρε, ἀοράτων ἐχθρῶν ἀμυντήριον· χαῖρε, Παραδείσου θυρῶν ἀνοικτήριον.

Χαῖρε, ὅτι τὰ οὐράνια συναγάλλεται τῇ γῇ· χαῖρε ὅτι τὰ ἐπίγεια συγχορεύει οὐρανοῖς.

Χαῖρε, τῶν Ἀποστόλων τὸ ἀσίγητον στόμα· χαῖρε, τῶν ἀθλοφόρων τὸ ἀνίκητον θάρσος.

Χαῖρε, στεῤῥὸν τῆς πίστεως ἔρεισμα· χαῖρε, λαμπρὸν τῆς χάριτος γνώρισμα.

Χαῖρε, δι' ἧς ἐγυμνώθη ὁ Ἅδης· χαῖρε δι' ἧς ἐνεδύθημεν δόξαν.

Χαῖρε, Νύμφη Ἀνύμφευτε.

Θεοδρόμον ἀστέρα θεωρήσαντες Μάγοι, τῇ τούτου ἠκολούθησαν αἴγλῃ· καὶ ὡς λύχνον κρατοῦντες αὐτόν, δι' αὐτοῦ ἠρεύνων κραταιὸν Ἄνακτα, καὶ φθάσαντες τὸν ἄφθαστον, ἐχάρησαν αὐτῷ βοῶντες.

Ἀλληλούϊα.

Ἴδον Παῖδες Χαλδαίων ἐν χερσὶ τῆς Παρθένου τὸν Πλά-



σαντα χειρὶ τοὺς ἀνθρώπους καὶ δεσπότην νοοῦντες αὐτὸν· εἰ καὶ δούλου ἔλαβε μορφήν, ἔσπευσαν τοῖς δώροις θεραπεῦσαι, καὶ βοῆσαι τῇ εὐλογημένῃ.

Χαῖρε, ἀστέρος ἀδύτου Μήτηρ· χαῖρε, αὐγὴ μυστικῆς ἡμέρας.

Χαῖρε, τῆς ἀπάτης τὴν κάμινον σβέσασα· χαῖρε τῆς Τριάδος τοὺς μύστας φωτίζουσα.

Χαῖρε, τύραννον ἀπάνθρωπον ἐκβαλοῦσα τῆς ἀρχῆς· χαῖρε Κύριον φιλάνθρωπον ἐπιδείξασα, Χριστόν.

Χαῖρε, ἡ τῆς βαρβάρου λυτρουμένη θρησκείας· χαῖρε, ἡ τοῦ βορβόρου ρυομένη τῶν ἔργων.

Χαῖρε, πυρὸς προσκύνησιν παύσασα· χαῖρε φλογὸς παθῶν ἀπαλάττουσα.

Χαῖρε, πιστῶν ὁδηγὲ σωφροσύνης· χαῖρε, πασῶν γενεῶν εὐφροσύνη.

Χαῖρε, Νύμφη ἀνύμφευτε.

Κήρυκες θεοφόροι γεγονότες οἱ Μάγοι ὑπέστρεψαν εἰς τὴν Βαβυλῶνα· ἐκτελέσαντές σου τὸν χρησμόν, καὶ κηρύξαντές σε τὸν Χριστὸν ἅπασιν, ἀφέντες τὸν Ἡρώδην ὡς ληρώδη μὴ εἰδότα ψάλλειν.

Ἀλληλούϊα.

Λάμψας ἐν τῇ Αἰγύπτῳ φωτισμὸν ἀληθείας, ἐδίωξας τοῦ ψεύδους τὸ σκότος· τὰ γὰρ εἴδωλα ταύτης, Σωτήρ, μὴ ἐνέγκαντά σου τὴν ἰσχύν, πέπτωκεν, οἱ δὲ τούτων ρυσθέντες, ἐβόων πρὸς τὴν Θεοτόκον.

Χαῖρε, ἀνόρθωσις τῶν ἀνθρώπων, χαῖρε κατάπτωσις τῶν δαιμόνων.

Χαῖρε, τῆς ἀπάτης τὴν πλάνην πατήσασα· χαῖρε, τῶν εἰδώλων τὸν δόλον ἐλέγξασα.

Χαῖρε θάλασσα ποντίσασα Φαραὼ τὸν νοητόν· χαῖρε, πέτρα ἡ ποτίσασα τοὺς διψῶντας τὴν ζωήν.

Χαῖρε, πύρινε στῦλε, ὁδηγῶν τοὺς ἐν σκότει· χαῖρε, σκέπη τοῦ κόσμου πλατυτέρα νεφέλης.

Χαῖρε, τροφὴ τοῦ Μάννα διάδοχε· χαῖρε, τροφῆς ἁγίας διάκονε.

Χαῖρε, ἡ γῆ τῆς ἐπαγγελίας· χαῖρε ἐξ ἧς ῥέει μέλι καὶ γάλα.

Μέλλοντος Συμεὼνος τοῦ παρόντος αἰῶνος μεθίστασθαι τοῦ ἀπαταιῶνος, ἐπεδόθης ὡς βρέφος αὐτῷ, ἀλλ' ἐγνώσθης τούτῳ καὶ θεὸς τέλειος· διόπερ ἐξεπλάγη σου τὴν ἄρρητον σοφίαν κράζων.

Ἀλληλούϊα.

***Καὶ πάλιν τὸ Κοντάκιον. Τῇ ὑπερμάχῳ. Εἶτα τὸν Ν'. Ψαλμόν, καὶ εὐθὺς τὸν Κανόνα Εἶτα τὸ Κοντάκιον. Τῇ ὑπερμάχῳ. Καὶ πάλιν ἐξ Οἴκους.***

Νέαν ἔδειξε κτίσιν, ἐμφανίσας ὁ Κτίστης, ἡμῖν τοῖς ὑπ' αὐτοῦ γενομένοις· ἐξ ἀσπόρου βλαστήσας γαστρός, καὶ φυλάξας ταύτην ὥσπερ ἦν, ἄφθορον· ἵνα τὸ θαῦμα βλέποντες ὑμνήσωμεν αὐτήν, βοῶντες.

Χαῖρε, τὸ ἄνθος τῆς ἀφθαρσίας· χαῖρε τὸ στέφος τῆς ἐγκρατείας.

Χαῖρε ἀναστάσεως τύπον ἐκλάμπουσα· χαῖρε, τῶν Ἀγγέλων τὸν βίον ἐμφαίνουσα.

Χαῖρε, δένδρον ἀγλαόκαρπον, ἐξ οὗ τρέφονται πιστοί· χαῖρε, ξύλον εὐσκιόφυλλον, ὑφ' οὗ σκέπονται πολλοί.

Χαῖρε, κυοφοροῦσα ὁδηγὸν πλανωμένοις· χαῖρε, ἀπογεννῶσα λυτρωτὴν αἰχμαλώτοις.

Χαῖρε, Κριτοῦ δικαίου δυσώπησις· χαῖρε, πολλῶν πταιόντων συγχώρησις.

Χαῖρε στολὴ τῶν γυμνῶν παρρησίας· χαῖρε στοργὴ πάντα πόθον νικῶσα.

Χαῖρε, Νύμφη ἀνύμφευτε.

Ξένον τόκον ἰδόντες, ξενωθῶμεν τοῦ κόσμου τὸν νοῦν εἰς οὐρανὸν μετατιθέντες, διὰ τοῦτο γάρ, ὁ ὑψηλὸς Θεός, ἐπὶ γῆς ἐφάνη ταπεινὸς ἄνθρωπος, βουλόμενος ἑλκύσαι πρὸς τὸ ὕψος τοὺς αὐτῷ βοῶντας.

Ἀλληλούϊα.

Ὅλος ἦν ἐν τοῖς κάτω, καὶ τῶν ἄνω οὐδόλως ἀπῆν ὁ ἀπερίγραπτος λόγος· συγκατάβασις γὰρ θεϊκή, οὐ μετάβασις δὲ τοπικὴ γέγονε· καὶ τόκος ἐκ Παρθένου θεολήπτου ἀκουούσης ταῦτα.

Χαῖρε, Θεοῦ ἀχωρήτου χώρα· χαῖρε, σεπτοῦ μυστηρίου θύρα.



Χαῖρε τῶν ἀπίστων ἀμφίβολον ἄκουσμα· χαῖρε, τῶν πιστῶν ἀναμφίβολον καύχημα.

Χαῖρε ὄχημα πανάγιον τοῦ ἐπὶ τῶν Χερουβίμ· χαῖρε, οἴκημα πανάριστον, τοῦ ἐπὶ τῶν Σεραφίμ.

Χαῖρε, τἀναντία εἰς ταὐτὸ ἀγαγοῦσα· χαῖρε, ἡ παρθενίαν καὶ λοχείαν ζευγνῦσα.

Χαῖρε. δι' ἧς ἐλύθη παράβασις· χαῖρε, δι' ἧς ἠνοίχθη Παράδεισος.

Χαῖρε, ἡ κλεὶς τῆς Χριστοῦ Βασιλείας· χαῖρε, ἐλπὶς ἀγαθῶν αἰωνίων.

Χαῖρε, Νύμφη ἀνύμφευτε.

Πᾶσα φύσις Ἀγγέλων κατεπλάγη τὸ μέγα τῆς σῆς ἐνανθρωπήσεως ἔργον· τὸν ἀπρόσιτον γὰρ ὡς Θεὸν ἐθεώρει πᾶσι προσιτὸν ἄνθρωπον, ἡμῖν μὲν συνδιάγοντα, ἀκούοντα δὲ παρὰ πάντων οὕτως·

Ἀλληλούϊα.

Ῥήτορας πολυφθόγους ὡς ἰχθύας ἀφώνους ὁρῶμεν ἐπὶ σοί, Θεοτόκε· ἀποροῦσι γὰρ λέγειν τὸ πῶς καὶ Παρθένος μένεις, καὶ τεκεῖν ἴσχυσας; ἡμεῖς δὲ τὸ Μυστήριον θαυμάζοντες πιστῶς βοῶμεν.

Χαῖρε σοφίας Θεοῦ δοχεῖον· χαῖρε προνοίας αὐτοῦ ταμεῖον.

Χαῖρε φιλοσόφους ἀσόφους δεικνύουσα, χαῖρε, τεχνολόγους ἀλόγους ἐλέγχουσα.

Χαῖρε ὅτι ἐμωράνθησαν οἱ δεινοὶ συζητηταί, χαῖρε ὅτι ἐμαράνθησαν οἱ τῶν μύθων ποιηταί.

Χαῖρε, τῶν Ἀθηναίων τὰς πλοκὰς διασπῶσα· χαῖρε τῶν ἁλιέων τὰς σαγήνας πληροῦσα.

Χαῖρε, βυθοῦ ἀγνοίας ἐξέλκουσα· χαῖρε πολλοὺς ἐν γνώσει φωτίζουσα.

Χαῖρε ὁλκὰς τῶν θελόντων σωθῆναι, χαῖρε λιμὴν τῶν τοῦ βίου πλωτήρων. Χαῖρε, Νύμφη ἀνύμφευτε.

Σῶσαι θέλων τὸν κόσμον ὁ τῶν ὅλων κοσμήτωρ, πρὸς τοῦτον αὐτεπάγγελτος ἦλθε· καὶ ποιμὴν ὑπάρχων ὡς Θεός, δι' ἡμᾶς ἐφάνη καθ' ἡμᾶς ἄνθρωπος· ὁμοίῳ γὰρ τὸν ὅμοιον καλέσας, ὡς Θεὸς ἀκούει. Ἀλληλούϊα.

Καὶ πάλιν τὸ Κοντάκιον. Τῇ Ὑπερμάχῳ. Εἶτα τὸν Κανόνα.

εν Βουκουρεστίω

Τὸ Κοντάκιον. Τῇ Ὑπερμάχῳ. Καὶ τοὺς λοιποὺς ἓξ Οἴκους.

Τεῖχος εἶ τῶν Παρθένων, Θεοτόκε Παρθένε, καὶ πάντων τῶν εἰς σὲ προστρεχόντων, ὁ γὰρ τοῦ Οὐρανοῦ καὶ τῆς γῆς κατεσκεύασέ σε Ποιητὴς Ἄχραντε, οἰκήσας ἐν τῇ μήτρᾳ σου, καὶ πάντας σοι προσφωνεῖν διδάξας.

Χαῖρε ἡ στήλη τῆς παρθενίας, χαῖρε ἡ πύλη τῆς σωτηρίας.

Χαῖρε ἀρχηγὲ νοητῆς ἀναπλάσεως, χαῖρε χορηγὲ τῆς θεϊκῆς ἀγαθότητος.

Χαῖρε, σὺ γὰρ ἀνεγέννησας τοὺς συλληφθέντας αἰσχρῶς· χαῖρε, σὺ γὰρ ἐνουθέτησας τοὺς συληθέντας τὸν νοῦν.

Χαῖρε ἡ τὸν φθορέα τῶν φρενῶν καταργοῦσα· χαῖρε ἡ τὸν σπορέα τῆς ἁγνείας τεκοῦσα.

Χαῖρε παστὰς ἀσπόρου νυμφεύσεως· χαῖρε πιστοὺς Κυρίῳ ἁρμόζουσα.

Χαῖρε καλὴ κουροτρόφε παρθένων· χαῖρε ψυχῶν νυμφοστόλε Ἁγίων. Χαῖρε Νύμφη ἀνύμφευτε.

Ὕμνος ἅπαξ ἡττᾶται, συνεκτείνεσθαι σπεύδων, τῷ πλήθει τῶν πολλῶν οἰκτιρμῶν σου· ἰσαρίθμους γὰρ τῇ ψάμμῳ ᾠδὰς ἂν προσφέρωμέν σοι, Βασιλεῦ ἅγιε, οὐδὲν τελοῦμεν ἄξιον ὧν δέδωκας ἡμῖν τοῖς σοὶ βοῶσιν. Ἀλληλούϊα.

Φωτοδόχον λαμπάδα τοῖς ἐν σκότει φανεῖσαν, ὁρῶμεν τὴν ἁγίαν Παρθένον· τὸ γὰρ ἄϋλον ἅπτουσα φῶς, ὁδηγεῖ πρὸς γνῶσιν θεϊκὴν ἅπαντας αὐγῇ τὸν νοῦν φωτίζουσα, κραυγῇ δὲ τιμωμένη ταῦτα.

Χαῖρε, ἀκτὶς νοητοῦ Ἡλίου· χαῖρε βολὶς τοῦ ἀδύτου φέγγους.

Χαῖρε, ἀστραπὴ τὰς ψυχὰς καταλάμπουσα· χαῖρε, ὡς βροντὴ τοὺς ἐχθροὺς καταπλήττουσα.

Χαῖρε, ὅτι τὸν πολύφωτον ἀνατέλλεις φωτισμόν. χαῖρε ὅτι τὸν πολύρρητον ἀναβλύζεις ποταμόν.

Χαῖρε, τῆς κολυμβήθρας ζωγραφοῦσα τὸν τύπον· χαῖρε τῆς ἁμαρτίας ἀναιροῦσα τὸν ῥύπον.

Χαῖρε, λουτὴρ ἐκπλύνων συνείδησιν, χαῖρε κρατὴρ κιρνῶν ἀγαλλίασιν.

Χαῖρε, ὀσμὴ τῆς Χριστοῦ εὐωδίας· χαῖρε, ζωὴ μυστικῆς εὐωχίας. Χαῖρε, Νύμφη ἀνύμφευτε.

Χάριν δοῦναι θελήσας, ὀφλημάτων ἀρχαίων, ὁ πάντων



χρεωλύτης ἀνθρώπων ἐπεδήμησε δι᾽ ἑαυτοῦ πρὸς τοὺς τῆς αὐτοῦ χάριτος· καὶ σχίσας τὸ χειρόγραφον, ἀκούει παρὰ πάντων οὕτως. Ἀλληλούϊα

Ψάλλοντές σου τὸν τόκον, ἀνυμνοῦμέν σε πάντες ὡς ἔμψυχον ναόν, Θεοτόκε, ἐν τῇ σῇ γὰρ οἰκήσας γαστρί, ὁ συνέχων πάντα τῇ χειρὶ Κύριος ἡγίασεν, ἐδόξασεν, ἐδίδαξε βοᾶν σοι πάντας.

Χαῖρε σκηνὴ τοῦ Θεοῦ καὶ λόγου· χαῖρε, Ἁγία Ἁγίων μείζων.

Χαῖρε, κιβωτὲ χρυσωθεῖσα τῷ πνεύματι· χαῖρε, θησαυρὲ τῆς ζωῆς ἀδαπάνητε.

Χαῖρε, τίμιον διάδημα Βασιλέων εὐσεβῶν· χαῖρε, καύχημα σεβάσμιον ἱερέων εὐλαβῶν.

Χαῖρε τῆς Ἐκκλησίας ὁ ἀσάλευτος πύργος· χαῖρε τῆς βασιλείας τὸ ἀπόρθητον τεῖχος.

Χαῖρε, δι᾽ ἧς ἐγείρονται τρόπαια· χαῖρε, δι᾽ ἧς οἱ ἐχθροὶ καταπίπτουσιν.

Χαῖρε χρωτὸς τοῦ ἐμοῦ θεραπεία· χαῖρε, ψυχῆς τῆς ἐμῆς σωτηρία. Χαῖρε Νύμφη ἀνύμφευτε.

Ὦ πανύμνητε Μῆτερ, ἡ τεκοῦσα τὸν πάντων Ἁγίων ἁγιώτατον Λόγον· δεξαμένη τὴν νῦν προσφοράν, ἀπὸ πάσης ῥῦσαι συμφορᾶς ἅπαντας καὶ τῆς μελλούσης λύτρωσαι κολάσεως τοὺς σοὶ βοῶντας. Ἀλληλούϊα

Καὶ πάλιν τὸν πρῶτον Οἶκον

Ἄγγελος πρωτοστάτης οὐρανόθεν ἐπέμφθη.

Μετὰ τὸ τέλος τοῦ Οἴκου

Μετὰ τοὺς Αἴνους, Δοξολογία καὶ Ἀπόλυσις.

## ΟΙΚΟΙ ΕΙΚΟΣΙΤΕΣΣΑΡΕΣ

Εἰς τοὺς θείους Ἀρχαγγέλους ἀρχαῖοι, ἐπιθεωρηθέντες καὶ πάνυ καλῶς ἐσχάτως διορθωθέντες τῇ φιλοπόνῳ χειρί, καὶ τῷ σοφῷ καλάμῳ τοῦ ἐν διδασκάλοις ἀρίστου καὶ ἀοιδίμου πατρὸς Κυρίου Νικοδήμου τοῦ Ναξίου. (α)

Κοντάκιον. Τῇ ὑπερμάχῳ.

Τοὺς Ἀρχαγγέλους τῆς Τριάδος εὐφημήσωμεν,
Τὸν Μιχαὴλ καὶ Γαβριήλ, πάντες φιλέορτοι,

---

Α΄. Προσκυνητάριον μονῆς Δοχειαρίου, ἐν Βουκουρεστίῳ 1843

Οἱ σκεπόμενοι ταῖς πτέρυξιν ἀμφοτέρων,
Καὶ δεινῶν παντοδαπῶν ἀπολυτρούμενοι,
Τῷ μὲν κράζοντες· Χαῖρε νόμου διάκονε.
Τῷ δὲ λέγοντες. Χαῖρε χάριτος Ἄγγελε.

Ἄγγελος ταγματάρχης τῶν ἀΰλων Ἀγγέλων, ἐκτίσθης πρὸς Θεοῦ πανταιτίου, ἐν σιγῇ νοερᾷ, Μιχαήλ, φωτὸς ἐκ τοῦ πρώτου, φῶς ὄντως δεύτερον, δι' ὃ σοι ἀγαλλόμενος, ἐφύμνια φωνῶ τοιαῦτα.

Χαῖρε νοὸς κοσμογόνου κτίσμα.
Χαῖρε, φωτὸς πρωτοφώτου χῦμα.
Χαῖρε, παραστάτα θεότητος πύρινε.
Χαῖρε, τῆς Τριάδος λειτουργὲ ἀκάματε.
Χαῖρε πνεῦμα θεοίκελον, ἄϋλον περιφλεγές.
Χαῖρε, ζῷον τὸ ἀθάνατον Θεοῦ ὑμνολογικόν.
χαῖρε, τοῦ ἐμπυρίνου οὐρανοῦ προστατεύων.
χαῖρε, τοῦ διακόσμου νοητοῦ ὁ ἐξάρχων.
χαῖρε, φωστὴρ εὐγνωμόνων τάξεων.
χαῖρε, πρηστὴρ ἀχαρίστου πνεύματος.
χαῖρε, δι' οὗ ἡ φύσις Ἀγγέλων ἔστη.
χαῖρε, δι' οὗ ὁ σατὰν κατεβλήθη.
χαῖρε νόμε διάκονε.

Βλέπων τοὺς ἀχαρίστους ἐπαρθέντας Ἀγγέλους, καὶ πίπτοντας ἐκ τοῦ ἐμπυρίνου οὐρανοῦ, ὦ θεῖε Μιχαήλ, ὡς εὐγνώμων δοῦλος στὰς ἀνεβόησας· Στῶμεν καλῶς καὶ πρόσχωμεν, ᾄδοντες τῇ Τριάδι ὕμνον.

Ἀλληλούια.

Γνώσεων ἀποκρύφων, καὶ βουλῶν τοῦ ὑψίστου ἐφάνης, Γαβριήλ, μυστηπόλος, τῶν μελλόντων πρόγνωσιν δηλῶν, καὶ χαρᾶς εὐαγγέλια εἰσηγούμενος βροτοῖς, δι' ὃ ἐπείγομαι τοιάδε κελαδεῖν σοι πόθῳ.

χαῖρε, φωτὸς ἀγνώστου δίοπτρα.
χαῖρε, Θεοῦ μυστηρίων μύστα.
χαῖρε, ἀποκρύφων βουλῶν τηλεσκόπιον.
χαῖρε, τῶν ἀῤῥήτων Θεοῦ μυστήριον.
χαῖρε, γνῶσιν κρυφιόμυστον ἐλλαμπόμενος νοΐ.
χαῖρε, ταύτην ὁ μυούμενος τοὺς ἀνθρώπους ἐν φωτί.
χαῖρε, εὐαγγελίων θείων ὁ ὑπηρέτης.
χαῖρε, χαροπαρόχων πραγμάτων ὁ ὑποφήτης.



χαῖρε, πολλῶν ἀδήλων ἡ δήλωσις.
χαῖρε, συχνῶν μελλόντων ἡ πρόγνωσις.
χαῖρε, δι' οὗ ἡ χαρὰ εἰσῳκίσθη.
χαῖρε, δι' οὗ ἡ λύπη ἐξῳκίσθη.

Χαῖρε χάριτος Ἄγγελε.

Δανιὴλ τῷ Προφήτῃ, ὑπὲρ πάντας Προφήτας ἐδήλωσας μυστήριον ξένον ἐλεύσεως Χριστοῦ τῆς φρικτῆς καὶ οἰκονομίας, Γαβριὴλ μέγιστε, καὶ τοῦτον ἐσυνέτισας Θεῷ σὺν εὐθυμίᾳ ψάλλειν,

Ἀλληλούια.

Ἔχων ἐπωνυμίαν, Μιχαὴλ θεῖε νόε, δυνάμεως Θεοῦ ἀνεδείχθης, δυνατὸς ἐν πολέμοις ἀεί, καὶ Ἰακὼβ ἐν τῇ πάλῃ ἐνίσχυσας, νικῶν ἔθνη ἀλλόφυλα· δι' ὃ σου δύναμιν γεραίρω.

χαῖρε, πυρὸς δραστήριε μᾶλλον.
χαῖρε, φλογὸς ὀξύτερος πέλων.
χαῖρε, Αἰγυπτίων ποντίσας στρατεύματα.
χαῖρε, Χαναναίων τροπώσας συστήματα.
χαῖρε, ὅτι ἐδυνάμωσας Μωϋσῆν καὶ Ἀαρών.
χαῖρε, ὅτι ἐνεθάρρυνας Ἰησοῦν τὸν τοῦ Ναυῆ.
χαῖρε, τῶν Ἀσσυρίων στρατιὰν ὁ συγκόψας.
χαῖρε, τῶν Ἀμορραίων τὸν Σηὼν ὁ πατάξας.
χαῖρε, τοῦ Ὢγ τῆς Βασὰν ἀναίρεσις.
χαῖρε, νεκροῦ Μωσέως ἡ λύτρωσις.
χαῖρε, δι' οὗ ἀσεβεῖς ἐκπορθοῦνται.
χαῖρε, δι' οὗ εὐσεβεῖς ἀνυψοῦνται.

Χαῖρε νόμου διάκονε.

Ζῆν ἡμᾶς ἐναρέτως, Μιχαὴλ Ἀγγελάρχα, δυσώπησον Θεὸν σαῖς πρεσβείαις, τοὺς τὴν σύνταξίν σου τὴν σεπτὴν ἐκ πόθου τελοῦντας, καὶ καταξίωσον, ζωῆς τυχόντας κρείτονος, σὺν σοὶ Θεῷ τὸν ὕμνον ψάλλειν.

Ἀλληλούια.

Ἦλθες ἐκ τοῦ ὑψίστου, Γαβριὴλ θεῖε νόε, χαρᾶς εὐαγγέλια, φέρων πρὸς τὴν Ἄνναν καὶ Ἰωακείμ, καὶ λύων τὴν τούτων ἄγονον στείρωσιν· δι' ὃ σοι εὐφραινόμενοι ἐκ πίστεως ἀναβοῶμεν,

χαῖρε, καλῶν ἀγγελιαφόρε.
χαῖρε, στειρῶν χαρὰ τεκνοφόρε.
χαῖρε, τῶν ἀκάρπων θεόσδοτος κάρπωσις.
χαῖρε, τῶν ἀτέκνων θεάρεστος τέκνωσις.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤ

χαῖρε, ὅτι τῷ θεοπάτορι γόνον ἤνεγκας σεπτόν.
χαῖρε, ὅτι τῇ θεοπρομήτορι γαστρὸς δέδωκας καρπόν.
χαῖρε, τῆς ἀπαιδίας τὰ δεσμὰ διαλύων.
χαῖρε, τῶν γεννωμένων τὴν χάριν προμηνύων.
χαῖρε, πολλῶν πατέρων ἡ καύχησις.
χαῖρε, καλῶν μητέρων παράκλησις.
χαῖρε, δι' οὗ βροτῶν αὔξεται γένος.
χαῖρε, δι' οὗ προαγγέλλεται γόνος.

Χαῖρε χάριτος Ἄγγελε.

Θεοτόκου Μαρίας τῆς τοῦ κόσμου κυρίας ἐλθούσης ἐν ναῷ τοῦ Κυρίου, ἀπεστάλης σύ, ὦ Γαβριήλ, κομίζων προθύμως τροφὴν οὐράνιον, καὶ διεγείρων πάντοτε ταύτην Θεῷ κραυγάζειν οὕτως. Ἀλληλούια.

Ἱκέτας γενομένους τῷ Θεῷ, ταξιάρχα, προπάτορας τοὺς πάλαι ἐρρύσω ἐκ πολλῶν, ὦ Μιχαήλ, καὶ τοῦ Ἰουδαίου λαοῦ γεγένησε ἀεὶ προπορευόμενος· δι' ὅ σοι προσφωνῶ τοιαῦτα.
χαῖρε, σφαγῆς Ἰσαὰκ λυτρώσας.
χαῖρε, χαρᾶς Ἀβραὰμ πληρώσας.
χαῖρε, τοῦ διψῶντος Ἰσμαὴλ ἡ ἀνάψυξις.
χαῖρε, τῆς κλαιούσης Ἄγαρ ξένη παράκλησις.
χαῖρε, στύλος ὁ περίμορφος ὁδηγῶν τὸν Ἰσραήλ.
χαῖρε, νέφος χρυσοσύνθετον τοῦτον σκέπον ἐν ὁδῷ.
χαῖρε, ὁ διασώσας πρωτότοκα Ἑβραίων.
χαῖρε, ὁ ἀποκτείνας πρωτότοκα Αἰγύπτου.
χαῖρε, λαμπρὸν Ἰουδαίων καύχημα.
χαῖρε, στεῤῥὸν τοῦ νόμου περίφραγμα.
χαῖρε, λαὸν ἐξ Αἰγύπτου ἐξάξας.
χαῖρε, εἰς γῆν καλὴν τοῦτον εἰσάξας

χαῖρε νόμου διάκονε.

Καταβὰς ἐν τῷ ὄρει τῷ Σινᾷ Θεὸς μέγας, καὶ μέλλων νόμον δοῦναι Ἑβραίοις, διὰ διακονίας τῆς σῆς καὶ μεσιτείας, Μιχαήλ, μέγιστε, τοῦτον Μωσῇ λελάληκε καὶ ἐδίδαξε μέλπειν οὕτως. Ἀλληλούια.

Λύτρωσον ἐξαιτοῦντι καὶ λαοῦ σωτηρίαν ποτὲ τῷ ἱερῷ ...ρίᾳ ἐν ναῷ Θεοῦ, ὦ Γαβριήλ, ἐμύνησας θείου Προδρό...σιν, δι' ὅ σου ἐξιστάμενος τὰ [illegible]



χαιρε, βροτῶν μείζονα μηνύσας.
χαιρε, πατρὸς τὸν Ἄγγελον δείξας.
χαιρε, Ζαχαρίου τερπνότατον λάλημα.
χαιρε, Ἐλισάβετ γλυκύτατον ἄκουσμα.
χαιρε, ὅτι εὐηγγέλισας τὸν βαπτιστὴν τοῦ Χριστοῦ.
χαιρε, ὅτι προκατήγγειλας τὸν δεύτερον Ἠλιοῦ.
χαιρε, τῆς μετανοίας τοῦ κήρυκος ὁ κῆρυξ.
χαιρε, φωτὸς τοῦ λύχνου ἡ πανεύηχος σάλπιγξ.
χαιρε, ἀρχῆς τῆς χάριτος φώνημα.
χαιρε, αὐγῆς ἡμέρας τὸ μήνυμα.
χαιρε, βαλβὶς τῆς βροτῶν σωτηρίας.
χαιρε, κρηπὶς οὐρανῶν βασιλείας.

χαῖρε χάριτος Ἄγγελε

Μέλλων ὁ Θεὸς λόγος δι' ἡμᾶς σαρκωθῆναι, σοὶ μόνῳ τὸ μυστήριον τοῦτο ἐνεθάῤῥυσεν, ὦ Γαβριήλ, καὶ σὲ ὑπηρέτην τούτου προέκρινε, τὸ θαῦμα λογιζόμενον καθ' ἑαυτόν, καὶ ψάλλοντα οὕτως. Ἀλληλούια.

Νεανίας τρεις πάλαι ἐκ φλογὸς τῆς καμίνου ἐῤῥύσω, Μιχαὴλ ταγματάρχα ἐν αὐτῇ φανεὶς διαπρεπής, τῷ εἴδει λαμπρός τε καὶ θεοείκελος, ὡς ἐξίστασθαι τύραννον τῷ θαύματι· δι' ὅ βοῶ σοι.
χαιρε, πυρὸς ἀκαμάτου σβέσις.
χαιρε, φλογὸς ἀειζώου ψύξις.
χαιρε, τῶν παρθένων παίδων ἀπολύτρωσις.
χαιρε, τῶν ἀσπίλων σωμάτων ἡ φύλαξις.
χαιρε, ὅτι σὺ ἐξέπληξας τὸν τύραννον σῇ μορφῇ.
χαιρε, ὅτι σὺ ἐνίσχυσας τὸν προφήτην Δανιήλ.
χαιρε, ὁ τὸν προφήτην Ἀββακοὺμ ἐξαρπάσας.
χαιρε, εἰς Βαβυλῶνα τοῦτον ταχυκομίσας.
χαιρε, στεῤῥὸν Γεδεὼν ἐκνίκημα.
χαιρε, λαμπρὸν τοῦ Μαδιὰμ ἥττημα.
χαιρε, δι' οὗ βασιλεῖς δυναμοῦνται.
χαιρε, δι' οὗ τύραννοι ἐκπτοοῦνται.

χαιρε νόμου διάκονε.

Ξένον θαῦμα ἰδόντες, Βαλαὰμ τε ὁ μάντις, καὶ ὕστερον Δαβὶδ ὁ προφήτης, σὲ ὦ θειε Μιχαήλ, ταχέως πεσόντες σοὶ προσεκύνησαν· ὁ μὲν φόβῳ δεσμούμενος, ὁ δὲ Θεῷ κραυγάζων οὕτως. Ἀλληλούια.

Ὅλος ἀστραπηφόρος, ὅλος ἠγλαϊσμένος, καὶ ὅλος χαριέστατος ἦλθες πρὸς τὴν κεχαριτωμένην, Γαβριήλ. τῆς χαρᾶς κομίσων τὰ εὐαγγέλια· δι᾽ ὅ σου καὶ γαννύμενος χαιρετισμῷ σε χαιρετίζω.

χαιρε, χαρᾶς ἀλήκτου ὁ κῆρυξ.
χαιρε, ἀρᾶς τῆς πάλαι ὁ πέλυξ.
χαιρε, πεπτωκότος Ἀδὰμ ἡ ἀνόρθωσις.
χαιρε, ἀθυμίας τῆς Εὔας παράκλησις.
χαιρε, λόγου ἐνσαρκώσεως ὑψηγόρε ἑρμηνεῦ.
χαιρε, Θεοῦ καταβάσεως ἔνδοξε μυσταγωγέ.
χαιρε, ὁ χαίρων χαιρε χαριτωθείσῃ λέξας.
χαιρε, ὁ λύπην πᾶσαν τῇ χαῖρε διαλύσας.
χαιρε, ἀστὴρ μηνύσας τὸν ἥλιον.
χαῖρε, φωστὴρ φῶς δείξας ἀπρόσιτον.
χαιρε, δι᾽ οὗ ὁ κόσμος ἐφωτίσθη.
χαίρε, δι᾽ οὗ τὸ σκότος ἠφανίσθη.

χαιρε, χάριτος Ἄγγελε.

Ποιμέσιν ἀγραυλοῦσι γέννησιν τοῦ σωτῆρος ἐμήνυσας, Γαβριήλ, χαίρων· καὶ τοὺς μάγους, ὡς ἀστὴρ λαμπρός, ὡδήγησας τούτους εἰς τὴν προσκύνησιν, καὶ πάντας ἐσυνέτησας τῷ γεννηθέντι κράζων οὕτως. Ἀλληλούϊα.

Ρωμαλέος προστάτης τῆς νέας διαθήκης ἐδείθχης, Μιχαὴλ φαεσφόρε, καὶ λαοῦ πιστῶν χριστιανῶν ὑπέρμαχος μέγας γνωρίζῃ πάντοτε, δεινῶν πολλῶν λυτρούμενος καὶ συγκινῶν αὐτοὺς βοᾶν σοι

χαιρε, λαοῦ τοῦ νέου τὸ τειχος.
χαιρε, ἐθνῶν χρυστωνύμων σθένος.
χαιρε, Ἀποστόλους πολλάκις ῥωσάμενος.
χαιρε, ἀθλοφόρους στεῤῥοὺς ἐργασάμενος.
χαιρε, ὅτι Πέτρον ἔσωσας ἐκ δεσμῶν καὶ φυλακῆς.
χαιρε, ὅτι σὺ ἀπέκτεινας τὸν Ἡρώδην παρευθύς.
ςαιρε, τῆς ἐκκλησίας ἀπροσμάχητος φύλαξ.
χαιρε, αἱρετιζόντων ὁ ἀμφίτομος πέλυξ.
χαιρε, στερεὸν ὁσίων ἐνίσχυμα.
χαιρε, λαμπρῶν ἱεραρχῶν ἔρεισμα.
χαιρε, δι᾽ οὗ ἡ πίστις ἐφαπλοῦται.
χαιρε, δι᾽ οὗ ἡ πλάνη ἐκμειοῦται.

χαῖρε νόμου διάκονε.



Συντελείας τοῦ κόσμου, Μιχαήλ, γενομένης, σάλπιγγα τὴν ἐσχάτην σαλπίσεις, ὑφ᾽ ἧς οἱ νεκροὶ ἀπὸ τῆς γῆς ἐγερθέντες, φόβῳ παρασταθήσονται τῷ ἀδεκάστῳ βήματι, κράζοντες μετὰ σοῦ τὸν ὕμνον. Ἀλληλούϊα.

Τάξεώς σου τὸ ὕψος ὄνομα σὸν ἐμφαίνει σαφῶς. ὦ Γαβριὴλ φωτοφόρε· θεανθρώπου γὰρ κλῆσιν πλουτῶν, εἰκότος καὶ θεανθρώπου δέδειξαι λόγου λειτουργὸς ἄξιος· δι᾽ ὅ σε καὶ γεραίρω ὕμνοις.

χαιρε, δι᾽ οὗ μνήστωρ ἐμνήθη.
χαιρε, δι᾽ οὗ κόρη παρελήφθη.
χαιρε, ὁ καλέσας Ἰησοῦ τὸ ὄνομα.
χαιρε, ὁ μηνύσας τῷ κόσμῳ σωτήρια.
χαιρε, ὅτι ἐχρημάτισας τῷ μνήστορι Ἰωσήφ.
χαιρε, ὅτι ἐφυγάδευσας εἰς Αἴγυπτον Ἰησοῦν.
χαιρε, ὁ ἐξ Αἰγύπτου Χριστὸν ἀνακαλέσας.
χαιρε, Ναζαρὲτ πόλιν οἰκῆσαι ὁ μηνύσας.
χαιρε, πιστοὺς μάγους μυησάμενος.
χαιρε, αὐτοὺς Ἡρώδου ῥυσάμενος.
χαιρε, δι᾽ οὗ Ἰησοῦς διεσώθη.
χαιρε, δι᾽ οὗ Ἡρώδης ἐνεπαίχθη

χαιρε χάριτος Ἄγγελε.

Ὕπερθεν θείου λίθου τοῦ ζωοδόχου τάφου καθήμενος Γαβριήλ, λευχείμων καὶ λάμπων ὡσεὶ ἀστραπή, Χριστοῦ τὴν ἀνάστασιν εὐηγγέλισας ταις γυναιξὶ Μὴ κλαίετε, βοῶν αὐταις, καὶ ᾄδων ὕμνον. Ἀλληλούια.

Φῶς τοῦ κόσμου ὑπάρχεις, Μιχαὴλ στρατάρχα, αὐγάζων τῶν πιστῶν διανοίας, καὶ πρὸς θείαν γνῶσιν ὁδηγῶν, καὶ πρὸς σωτηρίαν φωτίζων ἅπαντας, κακίας του ἀλάστορος ῥυόμενος αὐτοὺς βοῶντας.

χαιρε, πιστῶν προστάτα ἁπάντων.
χαιρε, πηγὴ ποικίλων θαυμάτων.
χαιρε, τῶν νοσούντων ἀδάπανος ἴασις.
χαιρε, αἰχμαλώτων ταχεια ἀνάῤῥυσις.
χαιρε, ὅτι ἐπροστάτευσας Δοχειαρίου μονῆς.
χαιρε, ὅτι ταύτην ἔσωσας Σαρακηνῶν τῆς ὁρμῆς.
χαιρε, τοῦ βυθισθέντος λύτρωσις νεανίου.
χαιρε, τοῦ κεκρυμμένου φανέρωσις χρυσίου.

χαιρε, πηγὴν βλύσας ἁγιάσματος.
χαιρε, τελῶν θαύματα δι' ὕδατος.
χαιρε, ναοῦ Δοχειαρίου θειε κοσμήτωρ.
χαιρε, μονῆς ταύτης ὁ ἀντιλήπτωρ.
χαιρε νόμου διάκονε.

Χάριν θείαν χάριν χαρίζου, Μιχαήλ, τοῖς τελοῦσι τὴν σύναξιν τὴν σὴν μετὰ πόθου, καὶ ἐν τῇ ἐξόδῳ τῆς ζωῆς σε καλοῦσι βοηθὸς φάνηθι, καὶ ἐξαιρέτως φύλαξον τοὺς ἐν τῇ μονῇ σου ταύτῃ ἐκβοῶντας.
Ἀλληλούϊα.

Ψάλλειν παναρμονίως τῇ Θεοῦ ἐνσαρκώσει τερπνὰς δοξολογίας μαθόντες, παρὰ σοῦ, ὦ θεῖε Γαβριήλ, σοὶ τὰ χαριστήρια πόθῳ ψάλλομεν, καὶ σὲ ὡς ἀγαθάγγελον γεραίροντες, οὕτω βοῶμεν.
Χαῖρε, χαρὰ τῶν λελυπημένων.
Χαῖρε, φρουρὲ τῶν κακουχουμένων.
Χαῖρε, πενομένων ὁ πλοῦτος ὁ ἄσυλος.
Χαῖρε, τῶν πλεόντων λιμὴν ὁ σωτήριος.
Σαῖρε, ὅπλον κραταιότατον βασιλέων εὐσεβῶν.
Χαῖρε, καύχημα περίδοξον ἱερέων εὐλαβῶν.
Ϋαῖρε, Δοχειαρίου τῆς μονῆς ὁ προστάτης.
Λαῖρε, ὁ πλοίου ταύτης θαυμαστὸς κυβερνήτης.
Χαῖρε, τῶν σὲ τιμώντων ὑπέρμαχε.
Χαῖρε, ψυχῶν νυμφαγωγὲ ἄριστε.
Χαῖρε, πιστῶν ἐκ Θεοῦ εὐλογία.
Χαῖρε, καλὴ μοναστῶν ὁδηγία.
Χαῖρε χάριτος Ἄγγελε.

Ὦ Ἀρχάγγελοι θεῖοι, Μιχαήλ, Γαβριήλ τε οἱ θρόνῳ τοῦ Θεοῦ παρεστῶτες, τὰ ἐφύμνια ταῦτα ἡμῶν, ὡς λεπτὰ τῆς χήρας, ἀποδεξάμενοι, γεένης ἡμᾶς ῥύσασθαι, ἵνα σὺν ἡμῖν ψάλλωμεν. Ἀλληλούϊα.

Εἶτα πάλιν τὸ κοντάκιον.

Τοὺς ἀρχαγγέλους τῆς Τριάδος εὐφημήσωμεν,
Τὸν Μιχαὴλ καὶ Γαβριὴλ πάντες φιλέορτοι,
Οἱ σκεπόμενοι ταῖς πτέρυξιν ἀμφοτέρων,
Καὶ δεινῶν παντοδαπῶν ἀπολυτρούμενοι,
Τῷ μὲν κράζοντες, Χαῖρε νόμου διάκονε.
Τῷ δὲ λέγοντες, Χαῖρε χάριτος Ἄγγελε.

ΒΙΒΛΙΟΘΗΚΗ ΤΟΥ